# Syntagma ad monachos

## ᾿Εκ τοῦ συντάγματος τοῦ ἁγίου Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, ὃ πρὸς μονάζοντας καὶ χριστιανοὺς πάντας κληρικούς τε καὶ λαϊκοὺς συνετέθη.

Φυλακτέον μὴ δίλογον εἶναι, μὴ διχογνώμονα, μὴ ψεύστην, μὴ διάβολον, μὴ ἀναίσχυν 122 τον, μὴ αὐθάδη, μὴ ῥεμβόμενον, μὴ ἀκαίροις χρώμενον περιπάτοις, σαπρὸν λόγον μὴ προφέροντα τῶν χειλέων, μήτε μὴν τὸ παράπαν ὅρκον, ἀλλ' ἀρκούμενον τῷ ναὶ καὶ τῷ οὔ· κἂν που ἀνάγκη γένηται, προστιθέντα τὸ γίνωσκε, τὸ ἀλήθειαν λέγων, τὸ οὐ ψεύδομαι· τὸ δὲ σεβάσμιον ὄνομα ἐπὶ ὅρκῳ μὴ προσληπτέον, ἀλλ' οὐδ' ἕτερόν τινα τῶν ὅρκων, κατὰ τὸ θεῖον φαμὲν εὐαγγέλιον· οὐδὲν γὰρ τούτων προσήκει χριστιανοῖς, ἀλλὰ καὶ τῆς ἐκκλησίας ἐκβάλλει τὸν μὴ πεφυλαγμένως πρὸς αὐτὰ ἔχοντα. Μὴ γυμνοῦν ἑαυτὸν ἐνώπιόν τινος, ὅτι μὴ κατὰ ἀνάγκην ἢ ἀσθένειαν ἐν λουτρῷ γενόμενον. Τὸν ἀδελφὸν μὴ ῥακά, μὴ μωρὸν λέγειν. Ἑορταῖς ἐθνῶν μὴ συγκοινωνεῖν. Γοητείας [γοητείας μς.] ἢ τὰ καλούμενα περίαπτά τε καὶ φυλακτήρια μήτε δρᾶν, μήτε ἑτέρων ποιεῖν βουλομένων εἰς αὐτὸν ἀνέχεσθαι. Τὸ σῶμα πάσης αἰσχρότητος φυλάττειν 123 καὶ ἀσελγείας, καὶ μηδὲ γυναῖκα συνείσακτον, ὥς τινες ἀγαπητὰς ἐκάλεσαν, ἔχειν. Μὴ ἔχειν κατά τινὸς εἰς ψυχήν, τούτου γὰρ ἡ εὐχὴ τῷ θεῷ ἀπρόσδεκτος. Αἱρετικοῖς ἢ ἐθνικοῖς μὴ συνεύχεσθαι, μηδὲ παραβαίνειν νηστείαν τετράδος ἢ παρασκευῆς, ἐκτὸς τῆς πεντηκοστῆς τε καὶ τῶν ἐπιφανίων, εἰ μὴ βαρεῖά τις νόσος καταναγκάζει· λύειν δὲ τὴν νηστείαν ἐπιδημίᾳ τινὸς ἀδελφοῦ, οὐ τὴν τεταγμένην ταύτην, τουτέστι τετράδα καὶ παρασκευῆς καὶ τὴν τοῦ σωτηρίου πάθους τεσσαρακοστήν, ἀλλὰ τὴν ἐξ οἰκείου θελήματος αἱρεθεῖσαν, τὴν ἐν δευτέρᾳ δηλονότι καὶ τρίτῃ καὶ πέμπτῃ· σαββάτου καὶ κυριακῆς μηδαμῶς νηστευτέον, ὅτι μὴ τοῦ μεγάλου μόνου καλουμένου σαββάτου· ἡ δὲ τῆς τετράδος καὶ παρασκευῆς ὥρα μέχρις ἐνάτης [ἐννάτης Cor. 2a manu] παρατείνεσθαι τέτακται· ὃ δὲ πλέον αὐτὸς ποιήσεις καὶ ὑπερθέσεσιν ἡμερῶν δυνηθῇς χρήσασθαι, παρὰ τῇ σῇ τοῦτο προαιρέσει κείσθω. Ἐν κυριακῇ μέντοι ἢ κατὰ τὸν καιρὸν τῆς πεντηκοστῆς μήτε νηστευτέον, μήτε μὴν τὸ γόνυ κλιτέον, οὐ γὰρ ἐπιτρέπει τοῦτο θεσμὸς ἐκκλησίας, ἀλλὰ μηδὲ ἀνάσχῃς μηδὲ πεισθῇς ὅλως Μαρκιωνισταῖς ἢ ἑτέροις τισὶ τῶν αἱρετικῶν σαββάτου ἢ κυριακῆς νηστεῦσαι. Τῶν συνάξεων μὴ ἀμέλει καὶ τῶν ἁγίων μυστηρίων ἄξιον σεαυτὸν παρασκεύαζε, ἵνα μὴ εἰς κρῖμά σοι τὸ ληφθὲν ἀντὶ ἁγιασμοῦ γένηται. Πόδας ἀδελφῶν τῶν παραβεβληκότων σοι 124 πλῦναι μὴ ὑπερόψει, ζητηθήσηται γὰρ ἡ ἐντολὴ αὕτη ἐκ τῶν ὑπερηφάνως πρὸς αὐτὴν ἐσχηκότων κἂν ἐπίσκοποι εἶεν, ἐπείπερ ὁ κύριος ἡμῶν αὐτὸς πρῶτος χρησάμενος καὶ τὸν τύπον δοὺς μιμεῖσθαι παρήγγειλεν. Μὴ ἔσο φιλάργυρος, μὴ αἰσχροκερδής, μὴ φιλοκτήμων, μὴ φιλόπλουτος, ἀρέσαι γὰρ τοὺς τοιούτους θεῷ ἀδύνατον. Ἀλλὰ μηδὲ πραγματείαις ὅλως προσκείμενος, καίτοι γε χώρας οἶδά τινας, αἳ διὰ τὸ μήτε σπείρειν, μήτε τινὰς τῶν τεχνῶν μετιέναι, πραγματείαις ἀναγκάζονται χρῆσθαι, μηδ' εἰ μοναχοὶ εἶεν αὐτῆς ἀπεχόμενοι, ποιοῦσι δὲ τοῦτο κακῶς μὲν πλὴν ἐξ ἀνάγκης. Πρὸς τούτοις μηδὲ τόκον ληπτέον, μήτε μὲν προωνητέον πλείονος ὡς ἥττονος πωλήσοντα. Ἐπὶ χρήσει διδοὺς λάμβανε τὸ κεφάλαιον μόνον, τόκου χωρίς. Μὴ δολιεύσῃ ἐνώπιον τῶν ἀλαθήτων ὀφθαλμῶν τοῦ θεοῦ, εἰ γὰρ τῷ τόκον δῆθεν εὐλαβεῖσθαι παραιτούμενος τὸ δανεῖσαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρασκευάσεις τὸν ἐν χρείᾳ πολλοῦ ὠνήσασθαι τὸ σόν, οὐχὶ φιλοκερδέστερον οὕτω καὶ μισανθρωπότερον ἢ κατὰ τὸν τόκον εὑρίσκῃ πρὸς τὸν ἀδελφὸν διακείμενος. Ταπεινὸς ἔσο καὶ ἡσύχιος καὶ τρόμον σοι διὰ παντὸς ἐμβαλέτω τὰ τοῦ θεοῦ λόγια. Μηδένα τῶν ἀνθρώπων μυκτηρίσῃς, μηδὲ καταγνῷς τινὸς ἐκ τοῦ σχήματος, παρατετη 125 ρημένως ἔχε περὶ τὴν ἐσθῆτα, ὡς μήτε μαλακοῖς χρῆσθαι, μήτ' ἐν ῥυπαροῖς προϊέναι· τρίχας τὸ παράπαν οὐ θεραπευτέον, ἐκκέκοπται γὰρ τὸ τοιοῦτον σχῆμα παρὰ τοῦ ἀποστόλου· ἀλλ' οὐδὲ ξυρᾶσθαι τὸ γένειον δεῖ, οὐδὲ περικουρείοις χρῆσθαι κειρόμονον. Κρεῶν ἀπέχου [πεχου ms. super rasuram] οὐχ ὡς βδελυσσόμενον ἀλλ' ὡς τὰς τῆς βλάβης περικόπτων τὰς φορμάς, καὶ ὡς ἀσθενῆ καὶ ἀνάξιον ἑαυτὸν λογιζόμενον. Οἴνου μὴ μεθεκτέον ἢ μόνον τὸ γεύεσθαι καὶ εὐλογεῖν τὸν πεποιηκότα· εἰ δὲ καὶ σοὶ κατὰ τὸν Τιμόθεον διὰ τὴν πολλὴν τοῦ βίου ἀκρίβειαν νόσοις κατειργάσθη τὸ σῶμα, κέχρησο ὀλίγῳ, τὸ μὲν γὰρ φάρμακον ἰάσεως, τὸ δὲ πολὺ καὶ σώματος καὶ ψυχῆς βλάβη. Εἰ δυνατὸν γυμνοποδῶν ἔσο, εἰ δὲ βούλει καὶ ὑποδήμασι χρῆσθαι ψιλὰ ἔστωσαν, καὶ φιλόκοσμα μηδὲ περιττά. Ἂν ἀῤῥωστῶν μεταλάβῃς ὠοῦ, οὐκ ἔσται σοι τοῦτο εἰς ἁμαρτίαν, κἂν ἀνάγκη σοι γένηται πτηνοῦ κρεῶν μετασχεῖν, ἁμαρτία μὲν τοῦτο μὴ νομιζέσθω, λυποῦ δὲ μόνον καθ' ὃ περιεκόπη σοι τὰ τῆς ἀκριβείας, καὶ ὁ τῆς ἀσκήσεως ἐνδέδωκε τόνος. 126 Καὶ νοσῶν δὲ εἰ χρεία γένηται ἀναγκαία, λοῦσαι· ὑγιαίνοντι γὰρ ἱερεῖ καὶ μονάζοντι βαλανείου χρεία οὐδεμία. Ἀλλὰ καὶ χαμευνεῖν αἱρετέον, ὑγιῶς τοῦ σώματος ἔχοντος. Ἐργάζου ταῖς χερσίν, ὥστε μὴ ἀργὸν τὸν ἄρτον ἐσθίειν, ἀλλὰ μᾶλλον ἐκ τοῦ καρποῦ τῶν χειρῶν ἔχειν, καὶ ἀδελφοῖς καὶ ξένοις μεταδιδόναι καὶ προηγουμένως χήραις καὶ ὀρφανοῖς καὶ μετρίοις. Εἰ μεταξὺ τῶν ἀνθρώπων οἰκεῖς, καὶ χωρίον ἔστι σοι πατρῷον, ἐργάζου τοῦτο δικαίως, καὶ τῶν καρπῶν αὐτοῦ πρῶτον μὲν ἀπάρχου τοῖς ἱερεῦσιν, ἔπειτα δὲ καὶ χήραις καὶ ὀρφανοῖς καὶ τοῖς ἄλλοις, ἀπὸ δικαίων μεταδίδου πόνων, οὐ γὰρ ἀπὸ τόκων ἢ πλεονασμῶν, οὐδὲ ἐκ πραγματειῶν ἢ διασεισμοῦ καὶ τῶν τοιούτων. Εἰ δὲ ἐν μονῇ προσεδρεύεις, μὴ τῆς μονῆς τὴν ἄσκησιν καθυβρίσῃς· εἰ γὰρ χωρίον κέκτησαι μοναστήριον κατοικῶν, οὐκ ἔστι τοῦτο ἀναχώρησις ἀλλὰ χλεύη. Εἴ τινας τῶν νέων περὶ σεαυτὸν ἔχεις, πρῶτα μὲν ταπεινοφρονῶν μὴ θέλε εἶναι διδάσκαλος, εἰ δὲ ἴδῃς διὰ τῆς ἀναστροφῆς τῆς σῆς ψυχὰς σωζομένας, καὶ βούλῃ τὰ δοθέντα σοι πέντε διπλασιάσαι τάλαντα, ἔχε διὰ μερίμνης τὰς τούτων ψυχάς, καὶ νέους ὄντας ἐπίστυφε· παρασκεύαζέ τε ἰδιάζειν ἕκαστον αὐτῶν ἐκτὸς 127 τραπέζης καὶ τῆς ἐν τῇ ψαλμῳδίᾳ συνάξεως· ἀλλὰ καὶ ἀγρύπνει συμμέτρως ἔν τε ψαλμοῖς καὶ εὐχαῖς· καὶ ἡμέρας μὲν εὔχου πυκνότερον μᾶλλον ἢ χρονιώτερον, μὴ κράζων μηδὲ βαττολογῶν. Ἔστω δὲ καὶ περὶ τὸ ψάλλειν ἡ συμμετρία, ὥστε μὴ περικακεῖν τὰς ψυχάς, μηδὲ ἀπαγορεύειν. Σπεῦδε δὲ τοὺς παῖδας σιωπηλοὺς εἶναι τυποῦσθαι. Αὗται αἱ ἐντολαὶ μονάζουσί τε καὶ εὐλαβέσι χριστιανοῖς, ταῖς θείαις γραφαῖς πᾶσαι ἐγκείμεναι καὶ τῇ παραδόσει τῆς ἐκκλησίας, εἰ καὶ τοῦ μὴ μακρολογῆσαι χάριν τὰς μαρτυρίας οὐκ ἐξεθέμεθα. Ὀφείλει μέντοι καὶ περὶ τὰ προσφερόμενα, μᾶλλον δὲ τοὺς προσφέροντας ἀκρίβειαν ἔχειν ὁ ἱερεύς· εἰ γὰρ παρὰ τινὸς τῶν στρατευομένων λάβῃ τοῦ αἷμα ἐκχέαντος, ἢ διασείσαντος, ἢ κλέψαντος, ἤ τινος τῶν πραγματευτῶν, ἢ ἐπιόρκων, ἢ πλουσίων ἀποστερητῶν, ἢ 128 τελωνῶν τῶν ἔτι τοῦ ἐπιτηδεύματος ἐχομένων, ἢ τοκογλύφων, ἢ τιμιουλκούντων ἐν σίτῳ, ἢ ἁπλῶς παρὰ τούτων ἁμαρτωλῶν, ὁ τοιοῦτος χωλὸν καὶ τυφλὸν ὑπάρχει τῷ θεῷ προσφέρων· σοὶ δὲ τῷ λαϊκῷ κρῖναι μὲν τὸν ἱερέα οὐκ ἔξεστιν· ἂν δὲ παραβάτην ἴδῃς, τούτῳ γε μὴ συναναστρέφου [explicit].



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.